20 ἀπέναντι, καὶ δόξα θεοῦ Ισραηλ ἦν ἐπ᾽ αὐτῶν ὑπεράνω. [20]τοῦτο
τὸ ζῷόν ἐστιν, ὃ εἶδον ὑποκάτω θεοῦ Ισραηλ ἐπὶ τοῦ ποταμοῦ
21 τοῦ Χοβαρ, καὶ ἔγνων ὅτι χερουβιν ἐστίν. [21]τέσσαρα πρόσωπα τῷ
ἑνί, καὶ ὀκτὼ πτέρυγες τῷ ἑνί, καὶ ὁμοίωμα χειρῶν ἀνθρώπου
22 ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. [22]καὶ ὁμοίωσις τῶν προσώπων
αὐτῶν, ταῦτα τὰ πρόσωπά ἐστιν, ἃ εἶδον ὑποκάτω τῆς δόξης θεοῦ
Ισραηλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβαρ, καὶ αὐτὰ ἕκαστον κατὰ πρόσ-
ωπον αὐτῶν ἐπορεύοντο.

11 [1]Καὶ ἀνέλαβέν με πνεῦμα καὶ ἤγαγέν με ἐπὶ τὴν πύλην τοῦ
οἴκου κυρίου τὴν κατέναντι τὴν βλέπουσαν κατὰ ἀνατολάς· καὶ
ἰδοὺ ἐπὶ τῶν προθύρων τῆς πύλης ὡς εἴκοσι καὶ πέντε ἄνδρες,
καὶ εἶδον ἐν μέσῳ αὐτῶν τὸν Ιεζονιαν τὸν τοῦ Εζερ καὶ Φαλτιαν
2 τὸν τοῦ Βαναιου τοὺς ἀφηγουμένους τοῦ λαοῦ. [2]καὶ εἶπεν κύριος
πρός με Υἱὲ ἀνθρώπου, οὗτοι οἱ ἄνδρες οἱ λογιζόμενοι μάταια καὶ
3 βουλευόμενοι βουλὴν πονηρὰν ἐν τῇ πόλει ταύτῃ [3]οἱ λέγοντες
Οὐχὶ προσφάτως ᾠκοδόμηνται αἱ οἰκίαι; αὕτη ἐστὶν ὁ λέβης, ἡμεῖς
4 δὲ τὰ κρέα. [4]διὰ τοῦτο προφήτευσον ἐπ᾽ αὐτούς, προφήτευσον,
5 υἱὲ ἀνθρώπου. [5]καὶ ἔπεσεν ἐπ᾽ ἐμὲ πνεῦμα κυρίου καὶ εἶπεν πρός
με Λέγε Τάδε λέγει κύριος Οὕτως εἴπατε, οἶκος Ισραηλ, καὶ τὰ
6 διαβούλια τοῦ πνεύματος ὑμῶν ἐγὼ ἐπίσταμαι. [6]ἐπληθύνατε νεκροὺς
ὑμῶν ἐν τῇ πόλει ταύτῃ καὶ ἐνεπλήσατε τὰς ὁδοὺς αὐτῆς τραυ-
7 ματιῶν. [7]διὰ τοῦτο τάδε λέγει κύριος Τοὺς νεκροὺς ὑμῶν οὓς
ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσιν τὰ κρέα, αὐτὴ δὲ ὁ λέβης
8 ἐστίν, καὶ ὑμᾶς ἐξάξω ἐκ μέσου αὐτῆς. [8]ῥομφαίαν φοβεῖσθε, καὶ
9 ῥομφαίαν ἐπάξω ἐφ᾽ ὑμᾶς, λέγει κύριος. [9]καὶ ἐξάξω ὑμᾶς ἐκ μέσου
αὐτῆς καὶ παραδώσω ὑμᾶς εἰς χεῖρας ἀλλοτρίων καὶ ποιήσω ἐν
10 ὑμῖν κρίματα. [10]ἐν ῥομφαίᾳ πεσεῖσθε, ἐπὶ τῶν ὁρίων τοῦ Ισραηλ
11 κρινῶ ὑμᾶς· καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος. [11]αὕτη ὑμῖν οὐκ
ἔσται εἰς λέβητα, καὶ ὑμεῖς οὐ μὴ γένησθε ἐν μέσῳ αὐτῆς εἰς
12 κρέα· ἐπὶ τῶν ὁρίων τοῦ Ισραηλ κρινῶ ὑμᾶς, [12]καὶ ἐπιγνώσεσθε
13 διότι ἐγὼ κύριος. — [13]καὶ ἐγένετο ἐν τῷ προφητεύειν με καὶ Φαλ-
τιας ὁ τοῦ Βαναιου ἀπέθανεν, καὶ πίπτω ἐπὶ πρόσωπόν μου καὶ

**19** θεου] pr. κυριου A || **22** ομοιωσις] -ωμα A | χοβαρ B†] + την ορασιν αυτων uel sim. rel. (in *O* sub ※)

**11 1** ιδου > B*† | ιεζονιαν] χ pro ζ BA: cf. 8 11 | εζερ B†] ιαζερ A, αζουρ Q || **5** κυριου > B† | οικος] pr. ο A† || **6** αυτης] -των Bpau. || **7** κυριος B*L*pau.] pr. αδωναι rel.: cf. 5 5 | επατ.] εφονευσατε A || **8** κυριος B†] pr. αδωναι rel.: cf. 5 5 || **10** επι] pr. και A | οριων pau.] ορεων rel.: item in 11 || **11. 12** > Bpau. || **11** οριων: cf. 10 || **12** διοτι A] οτι Qmu. | fin.] + οτι εν τοις δικαιωμασιν μου ουκ επορευθητε και τα κριματα μου ουκ εποιησατε και κατα τα κριματα των εθνων των περικυκλω υμων εποιησατε Qmu. (in *O* sub ※)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/788 UNIVERSITÄT LEIPZIG